καὶ ἀπαγγελίαν δὲ ἐκέλευεν θείαν εἶναι καὶ μὴ αἰσχράν, ὡσαύτως καὶ ἁρμονίαν καὶ ῥυθμὸν πρέποντα καὶ σχῆμα σεμνόν.

μάλιστα τοίνυν ἐν τοῖς συμποσίοις μουσικῇ ἐκέχρηντο, 5
ἐπειδὴ τὰ συμπόσια οἷά τε ἦν εἰς πάθη κινῆσαι, χορὸς οὖν ἐγίνετο, καὶ εἰ μὲν ἀπὸ ἀριστερῶν ἐπὶ τὸ δεξιὸν μέρος ἐφέροντο, ἐκαλεῖτο πρόοδος τὸ τοιοῦτον, εἰ δὲ ἐπὶ ἀριστερὸν ἔποδος, εἰ δὲ ἐπὶ τὸ μέσον μέσοδος, καὶ πάλιν εἰ ἐπὶ τὸ ὄπισθεν στραφέντες ἐπὶ τὸ δεξιὸν μέρος ᾔεσαν, στροφὴ ἐκαλεῖτο, εἰ δὲ ἐπὶ τὸ μέσον μέσοδος, εἰ δὲ ἐπὶ τὸ ἀριστερὸν ἀντιστροφή· τούτων μὲν οὖν καὶ Στησίχορος μέμνηται· συμβολικὰ δὲ ταῦτα ἦσαν, ἐμιμοῦντο γὰρ τὰς οὐρανίας κινήσεις· ἡ μὲν γὰρ ἀπὸ τῶν ἀριστερῶν εἰς τὰ δεξιὰ δυτική ἐστιν, ἡ δὲ ἀπὸ τῶν δεξιῶν ἐπὶ τὰ ἀριστερὰ ἀνατολική, ὡσαύτως καὶ οἱ ἀρχόμενοι ᾄδειν καὶ μεσοῦντες καὶ λήγοντες τὴν γῆν ἠνίττοντο, ἥ τις ἀρχὴ μέν ἐστιν ὡς κέντρον, μέση δὲ διὰ τὴν θέσιν, τελευταία δὲ ὡς ὑποσταθμὴ τοῦ παντός. ἐπεὶ τοίνυν ἐξελίμπανε κατὰ μέρος ἡ μουσικὴ μυρρίναις ἐκέχρηντο καὶ ἐλάμβανέ τις αὐτὴν καὶ ᾄδων οὐ παρεῖχε τῷ μετ' αὐτὸν ἀλλὰ τῷ κατὰ ἄντικρυ αὐτοῦ, εἶτα ἐκεῖνος τῷ πρώτῳ καὶ πάλιν ἐκεῖνος τῷ δευτέρῳ, καὶ σκολιὰ ἡ μετάδοσις ἐγίνετο καὶ ἐνταῦθα τὸ σκολιὸν μέλος εἴρηται. ἰστέον τοίνυν ὅτι μέλη ἔλεγον.

καὶ ὁ μὲν ἰατρὸς ἔλεγεν, ὅτι μέγιστον τὸ ἐμὸν ἔργον· τίς 6
γὰρ οὐκ ἀγαπᾷ ἔχειν ὑγίειαν; ὁ δὲ γυμναστὴς περὶ κάλλους ἔφασκεν, ὁ δὲ χρηματιστὴς περὶ χρημάτων. ἄλλος δέ, ὅτι καλὸν τὸ ἡβᾷν μετὰ φίλων. τοῦτο τοίνυν παραλιμπάνει ὡς μὴ χρησιμεῦον αὐτῷ, τοῖς δὲ τρισὶ κέχρηται. ὃ οὖν λέγει, τοιοῦτόν ἐστιν· ὅτι εἰρηκότος σοῦ, ὦ Γοργία, ὅτι περὶ τὰ μέγιστα τῶν πραγμάτων καταγίνομαι, εἴποι μοι ὁ ἰατρός, ὅτι ἀνέχῃ αὐτοῦ ταῦτα λέγοντος, ψεύδεται· ἐγὼ γὰρ περὶ τὰ μέγιστα καταγίνομαι· καὶ γὰρ καὶ σὺ καὶ Γοργίας μεῖζον

---

5 cf. schol. in Plat. p. 301 Athen XV 694. Scol. 8

---

5 mg. ση. περὶ τῶν κατὰ μουσικὴν ἐν τοῖς χόροις κινήσεων ὅπως τε ἐγίνοντο καὶ ὡς ἐκαλοῦντο 20 mg. ση. αἰτία δι' ἣν τὸ σκολιὸν μέλος οὕτως ἐκλήθη 22 mg. ἰατρός ὑγίεια
γυμναστής κάλλος
χρηματιστής χρήματα